καὶ κωμικῶς ὑποσημαίνων. Ω τρισκακοδαίμων] Εὐριπίδης τῆς ἐλπίδος ἀποτυχὼν, ἣν περὶ Ἀγάθωνος τῆς αὐτοῦ προστασίαν ληψομένου εἶχε, δυσφορεῖ, καὶ διὰ τὴν οἰκείαν δυστυχίαν λυπεῖται. τοῦτον μέντοι Μνησίλοχος παραμυθεῖσθαι πειρᾶται, καὶ πᾶσαν τὴν ἑαυτοῦ ὑπηρεσίαν, καὶ συνδίκησιν αὐτῷ ἄσμενος ὑπισχνεῖται. ἵνα δὲ ῥᾷον αὐτῷ τῷ ἔργῳ τὴν ὑπόσχεσιν ἀποτελοίη, τὸν ἑαυτοῦ πώγωνα τίλλεσθαι, καὶ πάσας τὰς τρίχας ἀποξυρᾶσθαι, καὶ ἄλλα πολλὰ πάνυ γελοῖα ἐν τῷ ἑαυτοῦ σώματι ποιεῖσθαι μεγαλοψύχως ἐᾷ, πρὸς τὸ δοκεῖν εἶναι γυνή. μετὰ δὲ ταῦτα φόρημα γυναικεῖον ἐνδυσάμενος μετὰ τῶν γυναικῶν εἰς τὴν Θεσμοφορείων ἑορτὴν, καὶ εἰς τὴν ἐκκλησίαν ὑπὲρ Εὐριπίδου ἀποκρινούμενος, καὶ αὐτῷ κατὰ δύναμιν συνδικήσων χωρεῖ. Χαμαὶ] ἐπὶ τῆς γῆς. ἐπὶ τὴν γῆν ἤδη ἀπέβαλον. παρεπιγραφή. τοῦτο γὰρ ἅμα λέγων, τὸ ἱμάτιον ἐκδύει, καὶ χαμᾶζε καταβάλλει. Η μὴ διδόναι γ' ἑαυτὸν] ὁ νοῦς οὗτος. A

A πρᾶττε πᾶν, ὅπερ σοι δοκεῖ. καὶ γὰρ εἰ μή σε ταῦτα δρᾶν ἤθελον ἐᾶν, οὐκ ἄν ποτε ἐμαυτὸν σοι ἐπέδωκα, οὐδ' ἐπέτρεψα, ὅπως ἐμὲ πάντα κατὰ γνώμην δράσειας. Ξυροδόκης] τινὲς γράφουσι ξυροδόχης. τουτέστι τῆς ξυροθήκης, ἣ τὸ ξυρὸν δέχεται. ὡς μέντοι καὶ ξενοδόχος, καὶ ξενοδόκος εὑρίσκεται, τί κωλύει καὶ ξυροδόχην, καὶ ξυροδόκην λέγεσθαι; ἀμφότερα γὰρ νενόμισται. ἀλλὰ τὸ μὲν ξυροδόχη, κοινὸν, τὸ δὲ ξυροδόκη ἰωνικόν. πολλαὶ δὲ τῶν B ἰωνικῶν λέξεων καὶ παρὰ τοῖς ἄλλοις εἰσὶν ἐν χρήσει. Εμβαλῶ σοι πάτταλον] τοῦτο κυριολεκτεῖται περὶ τῶν ὑῶν, εἰς ὧν τὸ στόμα πάτταλον ἐμβάλλομεν, ἵνα τὴν γλῶτταν ἐξείρωμεν, καὶ σκεψώμεθα εἰ χαλαζῶσιν, ὡς ἐν τοῖς Ἱππεῦσι προείρηται. νῦν δὲ τοῦτο ὁ Εὐριπίδης γελοίου χάριν τῷ Μνησιλόχῳ ἀπειλεῖ, ἵνα σιωπᾶν αὐτὸν ἀναγκάζῃ. Ἀτταταῖ ἰατταταῖ] σχετλιαστικὰ ἐπιρρήματα, ὡς δῆλον ἐν ταῖς Νεφέλαις. ταῦτα δὲ τοῖς κωμικοῖς συνήθη.

Ευ. Οὗτος σὺ ποῖ θεῖς; Μν. εἰς τὸ τῶν σεμνῶν θεῶν. C
Οὐ γὰρ μὰ τὴν Δήμητρα ἐνταυθοῖ μενῶ
Τεμνόμενος. Ευ. οὐκ οὖν καταγέλαστος δῆτ' ἔσει
Τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων.
Μν. Ολίγον μέλει μοι. Ευ. μηδαμῶς πρὸς τῶν θεῶν
Προδῷς με. χώρει δεῦρο. Μν. κακοδαίμων ἐγώ.
Ευ. Εχ' ἀτρέμα σαυτὸν, κἀνάκυπτε. ποῖ στρέφει; D
Μν. Μῦ. μῦ. Ευ. τί μύζεις; Μν. πάντα πεποίηται καλῶς.
Οἴμοι κακοδαίμων. ψιλὸς αὖ στρατεύσομαι.
Ευ. Μὴ φροντίσῃς. ὡς εὐπρεπὴς φανεῖ πάνυ.
Βούλει θεάσασθαι σεαυτόν; Μν. εἰ δοκεῖ φέρε.
Ευ. Ορᾷς σεαυτόν; Μν. οὐ μὰ Δί' ἀλλὰ Κλεισθένην. E
Ευ. Ανίστασ' ἵν' ἀφεύσω σε κἀγκύψας ἔχε.
Μν. Οἴμοι κακοδαίμων δελφάκιον γενήσομαι.
Ευ. Ενεγκάτω τὶς ἔνδοθεν δᾷδ' ἢ λύχνον.
Επίκυπτε. τὴν κέρκον φυλάττου νῦν ἄκραν. F

C EV. *Heus tu, quonam curris?* MN. *in templum seuerarum Dearum.*
*Non enim non per Cererem hic manebo*
*Cæsus.* EV. *nonne igitur ridiculus profectò eris*
*Malam alteram læuem habens?*
MN. *Parum curæ est mihi.* EV. *nequaquam obsecro,*
*Prodas me, veni huc.* MN. *infelix ego.*
EV. *Habe quietè teipsum, & suspice, quã auerteris facie.*
MN. *My, My.* EV. *quid mussitas?* MN. *omnia facta sunt bene.*
*Heu me miserum, leuis armaturæ miles rursus militabo.*
EV. *Ne sollicitus sis, quoniam speciosus videberis valde,*
*Vis spectare te ipsum ad speculum?* MN. *si videtur, age.*
EV. *Vides teipsum?* MN. *non per Iouem, sed Clisthenem.*
EV. *Surge vt aduram te, & sursum aspiciens te habe.*
MN. *Heu me miserum, porcellus vel pudendũ muliebre fiam.*
EV. *Afferat aliquis ab interiori parte facem, vel lucernam.*
*Inclina & despice, caudam custodi nunc summam.*

BOVRDINVS. Σεμνῶν θεῶν.] εὐμενίδων. ἐριννύες γὰρ οὕτω ἐκλήθησαν κατ' εὐφήμισμον, καίπερ ὁ φιλέμων ὁ κωμικὸς ἑτέρας ἔφησεν εἶναι σεμνὰς θεὰς τῶν εὐμενίδων, ἁμαρτάνων δὴ ἐν τούτῳ. Ημίκραιραν.] ἥμισυ μόνον κειρομένην καὶ ἀποτετιλμένην. ὅπερ δή ἐστι καταγέλαστον, καὶ γελοῖον. Μῦ] τοῦτο φώνημά ἐστι θρηνητικὸν, ὅθεν καὶ μύζειν παρῆκται, ὅπερ σημαίνει θρηνεῖν καὶ τοῖς μυκτῆρσιν ἀποτελεῖν ἦχόν τινα θρηνητικὸν καὶ παθητικόν. τοῦτο δὲ φώνημα σημαίνει ἔκλυσίν τινα ἀφροδισιαστικήν. ὅθεν καὶ μύται, ἐλέγοντο τὸ παλαιὸν ἀφροδισιασταὶ καὶ ἔκλυτοι καὶ γυναικομανεῖς. Ψιλός.] ἄνευ τριχῶν, καὶ ἀποτετιλμένος. Εὐπρεπής.] εὐειδὴς, ὡραῖος. Κλεισθένην.] Κλεισθένης οὗτος, ὡς γυναικώδης διεβάλλετο καὶ διεσύρατο. ὅθεν καὶ ἐν παροιμίαις Κλεισθένους G ἀκρατέστερος ἐλέγετο, ὅς τις ἐπὶ κιναιδοίᾳ διεβάλλετο καὶ ἐγυναικίζετο. ἐνταῦθα δὲ βουλόμενος δεικνύναι θηλύτητα καὶ μαλακίαν τινὰ, λαμβάνει τὴν πρόφασιν ἐπὶ τῷ Κλεισθένει, ὡς παρὰ πᾶσι ἐπὶ τῇ κιναιδοίᾳ κωμῳδουμένῳ καὶ ἐπισυραμένῳ. Εγκύψας ἔχε.] ἔγκυψον σαυτόν. λέγων δὴ ὁ Μνησίλοχος οὐχ ὁρᾶν νῦν δὴ σαυτὸν οἷος εἴη τὸ πρόσθεν, ἀλλὰ Κλεισθένην τὸν γυναικομανῆ καὶ μαλακώτερον τοῦ δέοντος. Δελφάκιον.] τουτέστι, μικρὸς δέλφαξ, καὶ χοῖρος γενήσομαι, οὕτω ἀπεξυρημένος, καὶ ἀποτετιλμένος. Κέρκον.] κέρκος λέγεται ἡ τῶν ἑρπετῶν οὐρὰ καὶ παντὸς ζώου, παρὰ τὸ σκαίρειν καὶ ἕρπειν. ἐνταῦθα δὲ δηλοῖ τὸ ὀρροπύγιον.

BISETVS. Των σεμνῶν θεῶν] τῶν Ερινύων. αὐτὰς γὰρ Ἀθηναῖοι οὕτω καλοῦσι. Σ. Τὴν ἡμίκραιραν) τὸ ἡμίκρανον. κραῖρα γὰρ ἡ κεφαλὴ, κυρίως ἡ ὀρθία. παρὰ